καθάπερ οἱ ἁρμονικοί φασιν, οὐκ ἔχομεν [δ'] ἀκριβῶς
εἰπεῖν· οὐ γὰρ εἰρήκασιν οἱ ἀρχαῖοί τι περὶ τούτου. καὶ
περὶ Θαλήτα δὲ τοῦ Κρητὸς εἰ παιάνων γεγένηται ποι-
ητὴς ἀμφισβητεῖται. Γλαῦκος γὰρ (FHG II 24 fr. 4) μετ'
Ἀρχίλοχον φάσκων γεγενῆσθαι Θαλήταν, μεμιμῆσθαι μὲν
αὐτόν φησι τὰ Ἀρχιλόχου μέλη, ἐπὶ δὲ τὸ μακρότερον
ἐκτεῖναι, καὶ Παίωνα καὶ Κρητικὸν ῥυθμὸν εἰς τὴν μελο- E
ποιίαν ἐνθεῖναι· οἷς Ἀρχίλοχον μὴ κεχρῆσθαι, ἀλλ' οὐδ'
Ὀρφέα οὐδὲ Τέρπανδρον· ἐκ γὰρ τῆς Ὀλύμπου αὐλήσεως
Θαλήταν φασὶν ἐξειργάσθαι ταῦτα καὶ δόξαι ποιητὴν
ἀγαθὸν γεγονέναι. περὶ δὲ Ξενοκρίτου, ὃς ἦν τὸ γένος ἐκ
Λοκρῶν τῶν ἐν Ἰταλίᾳ, ἀμφισβητεῖται εἰ παιάνων ποιη-
τὴς γέγονεν· ἡρωϊκῶν γὰρ ὑποθέσεων πράγματα ἐχου-
σῶν ποιητὴν γεγονέναι φασὶν αὐτόν· διὸ καί τινας διθυ-
ράμβους καλεῖν αὐτοῦ τὰς ὑποθέσεις· πρεσβύτερον δὲ τῇ
ἡλικίᾳ φησὶν ὁ Γλαῦκος Θαλήταν Ξενοκρίτου γεγονέναι.

**11.** Ὄλυμπος δέ, ὡς Ἀριστόξενός φησιν (fr. 83 Wehrli), F
ὑπολαμβάνεται ὑπὸ τῶν μουσικῶν τοῦ ἐναρμονίου γένους
εὑρετὴς γεγενῆσθαι· τὰ γὰρ πρὸ ἐκείνου πάντα διάτονα
καὶ χρωματικὰ ἦν. ὑπονοοῦσι δὲ τὴν εὕρεσιν τοιαύτην τινὰ
γενέσθαι· ἀναστρεφόμενον τὸν Ὄλυμπον ἐν τῷ διατόνῳ
καὶ διαβιβάζοντα τὸ μέλος πολλάκις ἐπὶ τὴν διάτονον
παρυπάτην, τοτὲ μὲν ἀπὸ τῆς παραμέσης, τοτὲ δ' ἀπὸ τῆς
μέσης, καὶ παραβαίνοντα τὴν διάτονον λιχανόν, καταμα-
θεῖν τὸ κάλλος τοῦ ἤθους, καὶ οὕτως τὸ ἐκ τῆς ἀναλογίας
συνεστηκὸς σύστημα | θαυμάσαντα καὶ ἀποδεξάμενον, 1135
ἐν τούτῳ ποιεῖν ἐπὶ τοῦ Δωρίου τόνου· οὔτε γὰρ τῶν τοῦ
διατόνου ἰδίων οὔτε τῶν τοῦ χρώματος ἅπτεσθαι, ἀλλ'



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41302413X/17 UNIVERSITÄT LEIPZIG